στησεν Ἰσαάκ, ἵν᾽ ἔχοι μονογενῆ υἱὸν καὶ πρωτότοκον, τοῦ μονογενοῦς καὶ πρωτοτόκου μυστικὴν εἰκόνα προδιαγράφοντα· τοῦτο γέρας αὐτῷ κατ᾽ ἐξαίρετον χαρισάμενος, τὸ δοῦλον καὶ φίλον καὶ πατέρα χρηματίσαι τοῦ μονογενοῦς υἱοῦ κατὰ σάρκα, τοῦ τὸν κόσμον ὅλον δημιουργήσαντος. οὗτος εὗρε μὲν ἱερὰ γράμματα καὶ γλῶσσαν ἐμηχανήσατο, ἧς Ἑβραίων παῖδες ἐν ἐπιστήμῃ ἐτύγχανον, ὡς ὄντες τούτου μαθηταὶ καὶ ἀπόγονοι. ἐκ τούτου καὶ τὰ Ἑλλήνων γράμματα τὰς ἀφορμὰς ἔλαβον, κἂν ἄλλως καὶ ἄλλως ἑαυτοὺς διαπαίζοντες ἀναγράφωσιν Ἕλληνες. καὶ τούτου μαρτύριον ἡ τοῦ Ἄλφα φωνὴ τοῦ πρώτου στοιχείου καὶ ἄρχοντος, ἀπὸ τοῦ Ἄλεφ Ἑβραίου λαβόντος τὴν ἐπίκλησιν τοῦ μακαρίου καὶ πρώτου καὶ ἀθανάτου ὀνόματος. ἐκ τούτου καὶ τὰ ὀνείρων βιβλία ἐσφετερίσαντο Ἕλληνες. καὶ μάρτυς Ἰωσὴφ ὁ πανθαύμαστος ὁ τούτου ἀπόγονος, ὁ τοῦ Φαραὼ τὰ ἐνύπνια ὡς ἔμελλον ἀποβήσεσθαι διηγούμενος. τοῦτό μοι καὶ Φίλων, ἐξ Ἑβραίων φιλόσοφος, ἐν τῷ τοῦ Πολιτικοῦ βίῳ συνεπιμαρτυρήσεται, Φίλων, περὶ οὗ ἐρρήθη, Φίλων πλατωνίζει, καὶ Πλάτων φιλωνίζει.

E ὅτι ἤρξατο ἡ εἰδωλολατρεία ἀπὸ Σεροὺχ ἕως τῶν χρόνων Θάρρα τοῦ πατρὸς Ἀβραάμ. ὃς Ἀβραὰμ ὑπάρχων ἐτῶν ιδʹ καὶ θεογνωσίας ἀξιωθεὶς ἐνουθέτει τὸν πατέρα αὐτοῦ, λέγων· τί πλανᾷς τοὺς ἀνθρώπους διὰ κέρδος ἐπιζήμιον (τουτέστι τὰ εἴδωλα); οὐκ ἔστιν ἄλλος θεὸς εἰ μὴ ὁ ἐν τοῖς οὐρανοῖς, ὁ καὶ πάντα τὸν κόσμον δημιουργήσας. ὁρῶν γὰρ τοὺς ἀνθρώπους κτισματολατροῦντας διήρχετο διαπονούμενος καὶ τὸν ὄντως ὄντα θεὸν ἐκζητῶν ἐκ φιλοθέου καρδίας. ὁρῶν δὲ τὸν οὐρανὸν ποτὲ μὲν λαμπρὸν, ποτὲ δὲ σκοτεινὸν, ἔλεγεν ἐν ἑαυτῷ· οὐκ ἔστιν οὗτος θεός. ὁμοίως καὶ τὸν ἥλιον καὶ τὴν σελήνην, τὸν μὲν ἀποκρυπτόμενον καὶ ἀμαυρούμενον, τὴν δὲ φθίνουσαν καὶ ἀπολήγουσαν, ἔφησεν· οὐδ᾽ οὗτοί εἰσι θεοί. καὶ μέντοι καὶ τὴν τῶν ἀστέρων κίνησιν, ἐκ τοῦ πατρὸς γὰρ ἐπαιδεύετο τὴν ἀστρονομίαν, καὶ ἀπορῶν ἐδυσχέραινεν. ὤφθη δὲ αὐτῷ ὁ θεὸς καὶ λέγει αὐτῷ· ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου. καὶ λαβὼν τὰ εἴδωλα τοῦ πατρὸς καὶ τὰ μὲν κλάσας τὰ δὲ ἐμπυρίσας ἀνεχώρησε μετὰ τοῦ πατρὸς ἐκ γῆς Χαλδαίων· καὶ ἐλθόντος εἰς Χαρρὰν, ἐτελεύτησεν ὁ πατὴρ αὐτοῦ. καὶ ἐξελθὼν ἐκεῖθεν ἐν λόγῳ Κυρίου ἦλθε σὺν τῇ γυναικὶ Σάρρᾳ καὶ τῷ ἀνεψιῷ Λὼτ μετὰ πάσης αὐτῶν τῆς ἀποσκευῆς εἰς τὴν ὀφειλομένην γῆν Χαναὰν, ἣν οἱ Χαναναῖοι τυραννικῶς ἀφελόμενοι ᾤκησαν. λιμοῦ δὲ γενομένου καταλιπὼν τὴν Χαναναίων γῆν εἰς Αἴγυπτον ἀπῄει, οὗ τὴν γυναῖκα Σάρραν Ἀβιμέλεχ ἥρπασεν ὁ βασιλεύς. τοῦτον ὁ θεὸς ἐκδειματώσας καὶ πάρεσιν